ἀγ|λαὰν ἥβαν προλείπων.“
5 φασὶν ἀδεισιβόαν
col 15 (11) Ἀμφιτ|ρύωνος παῖδα μοῦνον δὴ τότε
7 τέγξαι βλέφαρον, ταλαπενθέος
πότ|μον οἰκτίροντα φωτός·
9 καί νιν ἀμειβόμενος
τᾶδ' ἔφα· „θνατοῖσι μὴ φῦναι φέριστον
Ε' 1 μηδ' ἀελίου προσιδεῖν
φέγγος· ἀλλ' οὐ γάρ τίς ἐστιν
3 πρᾶξις τάδε μυρομένοις,
χρὴ κεῖνο λέγειν ὅτι καὶ μέλλει τελεῖν.
5 ἦρά τις ἐν μεγάροις
Οἰνῆος ἀρηϊφίλου
7 ἔστιν ἀδ|μήτα θυγάτ|ρων,
σοὶ φυὰν ἀλιγκία;
9 τάν κεν λιπαρὰν ⟨ἐ⟩θέλων θείμαν ἄκοιτιν.“
τὸν δὲ μενεπτολέμου
11 ψυχὰ προσέφα Μελεά-
γ|ρου· „λίπον χλωραύχενα
13 ἐν δώμασι Δαϊάνειραν,
νῆϊν ἔτι χ|ρυσέας
Κύπ|ριδος θελξιμβρότου.“



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391258X/27 UNIVERSITÄT LEIPZIG